eul_wid: emo-ac

*Αἰσχύλος ὁ τραγικός* · Aeschylus the Tragedian

# Prometheus Bound

*Προμηθεὺς Δεσμώτης*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δράμα Ἀττικόν* Attic Drama
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

1 ΚΡΑΤΟΣ
1.1 Χθονὸς μὲν ἐς τηλουρὸν ἥκομεν πέδον,
1.2 Σκύθην ἐς οἶμον, ἄβροτον εἰς ἐρημίαν.
1.3 Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς
1.4 ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
5.1 ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι
5.2 ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις.
5.3 τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας,
5.4 θνητοῖσι κλέψας ὤπασεν· τοιᾶσδέ τοι
5.5 ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην,
10.1 ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα
10.2 στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου.
11 ΗΦΑΙΣΤΟΣ
12.1 Κράτος Βία τε, σφῷν μὲν ἐντολὴ Διὸς
12.2 ἔχει τέλος δὴ κοὐδὲν ἐμποδὼν ἔτι·
12.3 ἐγὼ δ’ ἄτολμός εἰμι συγγενῆ θεὸν
15.1 δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ.
15.2 πάντως δ’ ἀνάγκη τῶνδέ μοι τόλμαν σχεθεῖν·
15.3 εὐωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
15.4 τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
15.5 ἄκοντά ς’ ἄκων δυσλύτοις χαλκεύμασι
20.1 προσπασσαλεύσω τῷδ’ ἀπανθρώπῳ πάγῳ, ἵν’ οὔτε φωνὴν οὔτε του μορφὴν βροτῶν
20.2 ὄψῃ, σταθευτὸς δ’ ἡλίου φοίβῃ φλογὶ
20.3 χροιᾶς ἀμείψεις ἄνθος· ἀσμένῳ δέ σοι
20.4 ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος,

πάχνην θ’ ἑῴαν ἥλιος σκεδᾷ πάλιν·
αἰεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
τρύσει ς’· ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.
τοιαῦτ’ ἐπηύρου τοῦ φιλανθρώπου τρόπου.
θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον
βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης·
ἀνθ’ ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν
ὀρθοστάδην, ἄυπνος, οὐ κάμπτων γόνυ·
πολλοὺς δ’ ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς
φθέγξῃ· Διὸς γὰρ δυσπαραίτητοι φρένες·
ἅπας δὲ τραχὺς ὅστις ἂν νέον κρατῇ.
Κρ.εἶέν, τί μέλλεις καὶ κατοικτίζῃ μάτην;
τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεόν,
ὅστις τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας;
Ηφ.τὸ συγγενές τοι δεινὸν ἥ θ’ ὁμιλία.
Κρ.σύμφημ’· ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων
οἷόν τε πῶς; οὐ τοῦτο δειμαίνεις πλέον;
Ηφ.αἰεί γε δὴ νηλὴς σὺ καὶ θράσους πλέως.
Κρ.ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι· σὺ δὲ
τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
Ηφ.ὦ πολλὰ μισηθεῖσα χειρωναξία.
Κρ.τί νιν στυγεῖς; πόνων γὰρ ὡς ἁπλῷ λόγῳ
τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη.
Ηφ.ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.
Κρ.ἅπαντ’ ἐπαχθῆ πλὴν θεοῖσι κοιρανεῖν.
ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διός.
Ηφ.ἔγνωκα τοῖσδε, κοὐδὲν ἀντειπεῖν ἔχω.
Κρ.οὔκουν ἐπείξῃ τῷδε δεσμὰ περιβαλεῖν,
ὡς μή ς’ ἐλινύοντα προσδερχθῇ πατήρ;
Ηφ.καὶ δὴ πρόχειρα ψάλια δέρκεσθαι πάρα.
Κρ.βαλὼν νιν ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει
ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις.
Ηφ.περαίνεται δὴ κοὐ ματᾷ τοὔργον τόδε.
Κρ.ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῇ χάλα·
δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρον.
Ηφ.ἄραρεν ἥδε γ’ ὠλένη δυσεκλύτως.
Κρ.καὶ τήνδε νῦν πόρπασον ἀσφαλῶς, ἵνα
μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ηφ.πλὴν τοῦδ’ ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι.
Κρ.ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
στέρνων διαμπὰξ πασσάλευ’ ἐρρωμένως.
Ηφ.αἰαῖ, Προμηθεῦ, σῶν ὕπερ στένω πόνων.
Κρ.σὺ δ’ αὖ κατοκνεῖς τῶν Διός τ’ ἐχθρῶν ὕπερ
στένεις; ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτε.
Ηφ.ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν.
Κρ.ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων.
ἀλλ’ ἀμφὶ πλευραῖς μασχαλιστῆρας βάλε.
Ηφ.δρᾶν ταῦτ’ ἀνάγκη, μηδὲν ἐγκέλευ’ ἄγαν.
Κρ.ἦ μὴν κελεύσω κἀπιθωΰξω γε πρός.
χώρει κάτω, σκέλη δὲ κίρκωσον βίᾳ.
Ηφ.καὶ δὴ πέπρακται τοὔργον οὐ μακρῷ πόνῳ.
Κρ.ἐρρωμένως νῦν θεῖνε διατόρους πέδας·
ὡς οὑπιτιμητής γε τῶν ἔργων βαρύς.
Ηφ.ὅμοια μορφῇ γλῶσσά σου γηρύεται.
Κρ.σὺ μαλθακίζου, τὴν δ’ ἐμὴν αὐθαδίαν
ὀργῆς τε τραχυτῆτα μὴ ’πίπλησσέ μοι.
Ηφ.στείχωμεν· ὡς κώλοισιν ἀμφίβληστρ’ ἔχει.
Κρ.ἐνταῦθα νῦν ὕβριζε καὶ θεῶν γέρα
συλῶν ἐφημέροισι προστίθει. τί σοι
οἷοί τε θνητοὶ τῶνδ’ ἀπαντλῆσαι πόνων;
ψευδωνύμως σε δαίμονες Προμηθέα
καλοῦσιν· αὐτὸν γάρ σε δεῖ προμηθέως,
ὅτῳ τρόπῳ τῆσδ’ ἐκκυλισθήσῃ τέχνης.

ΠΡΟΜΗΘΕΥΣ

ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαί,
ποταμῶν τε πηγαί, ποντίων τε κυμάτων
ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ,
καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ·
ἴδεσθέ μ’ οἷα πρὸς θεῶν πάσχω θεός.
δέρχθηθ’ οἵαις αἰκείαισιν
διακναιόμενος τὸν μυριετῆ
χρόνον ἀθλεύσω.
τοιόνδ’ ὁ νέος ταγὸς μακάρων
ἐξηῦρ’ ἐπ’ ἐμοὶ δεσμὸν ἀεικῆ.
φεῦ φεῦ, τὸ παρὸν τό τ’ ἐπερχόμενον
πῆμα στενάχω· πῇ ποτε μόχθων

unit_27

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρὴ τέρματα τῶνδ’ ἐπιτεῖλαι;
unit_28.1 καίτοι τί φημι; πάντα προυξεπίσταμαι
unit_28.2 σκεθρῶς τὰ μέλλοντ’, οὐδέ μοι ποταίνιον
unit_28.3 πῆμ’ οὐδὲν ἥξει. τὴν πεπρωμένην δὲ χρὴ
unit_28.4 αἶσαν φέρειν ὡς ῥᾷστα, γιγνώσκονθ’ ὅτι
105.1 τὸ τῆς ἀνάγκης ἔστ’ ἀδήριτον σθένος.
105.2 ἀλλ’ οὔτε σιγᾶν οὔτε μὴ σιγᾶν τύχας
unit_30.1 οἷόν τέ μοι τάσδ’ ἐστί. θνητοῖς γὰρ γέρα
unit_30.2 πορὼν ἀνάγκαις ταῖσδ’ ἐνέζευγμαι τάλας·
unit_30.3 ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς
110.1 πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης
110.2 πάσης βροτοῖς πέφηνε καὶ μέγας πόρος.
110.3 τοιῶνδε ποινὰς ἀμπλακημάτων τίνω
110.4 ὑπαίθριος δεσμοῖς πεπασσαλευμένος.
110.5 ἆ ἆ.
114 ἔα ἔα.
115.1 τίς ἀχώ, τίς ὀδμὰ προσέπτα μ’ ἀφεγγής,
115.2 θεόσυτος, ἢ βρότειος, ἢ κεκραμένη;
115.3 τερμόνιον ἵκετ’ ἐπὶ πάγον
115.4 πόνων ἐμῶν θεωρός, ἢ τί δὴ θέλων;
115.5 ὁρᾶτε δεσμώτην με δύσποτμον θεόν,
120.1 τὸν Διὸς ἐχθρόν, τὸν πᾶσι θεοῖς
120.2 δι’ ἀπεχθείας ἐλθόνθ’ ὁπόσοι
120.3 τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσιν,
120.4 διὰ τὴν λίαν φιλότητα βροτῶν.
120.5 φεῦ φεῦ, τί ποτ’ αὖ κινάθισμα κλύω
125.1 πέλας οἰωνῶν; αἰθὴρ δ’ ἐλαφραῖς
125.2 πτερύγων ῥιπαῖς ὑποσυρίζει.
125.3 πᾶν μοι φοβερὸν τὸ προσέρπον.
127 ΧΟΡΟΣ
128 μηδὲν φοβηθῇς·[στρ. α.
128 φιλία γὰρ ἥδε τάξις
unit_39 πτερύγων θοαῖς ἁμίλλαις
130.1 προσέβα τόνδε πάγον, πα-
130.2 τρῴας μόγις παρειποῦ-
131.1 σα φρένας,
131.2 κραιπνοφόροι δέ μ’ ἔπεμψαν αὖραι·
131.3 κτύπου γὰρ ἀχὼ
133.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χάλυβος διῇξεν ἄντρων
133.2 μυχόν, ἐκ δ’ ἔπληξέ μου τὰν
134 θεμερῶπιν αἰδῶ·
135 σύθην δ’ ἀπέδιλος ὄχῳ πτερωτῷ.
135.1 Πρ.αἰαῖ αἰαῖ,
135.2 τῆς πολυτέκνου Τηθύος ἔκγονα,
135.3 τοῦ περὶ πᾶσάν θ’ είλισσομένου
135.4 χθόν’ ἀκοιμήτῳ ῥεύματι παῖδες
140.1 πατρὸς Ὠκεανοῦ,
140.2 δέρχθητ’, ἐσίδεσθ’ οἵῳ δεσμῷ
140.3 προσπορπατὸς τῆσδε φάραγγος
140.4 σκοπέλοις ἐν ἄκροις
143 φρουρὰν ἄζηλον ὀχήσω.
143 Χο.λεύσσω, Προμηθεῦ·[ἀντ. α.
144 φοβερὰ δ’ ἐμοῖσιν ὄσσοις
145.1 ὁμίχλα προσῇξε πλήρης
145.2 δακρύων σὸν δέμας εἰσι-
145.3 δούσῃ πέτρᾳ προσαυαι-
147 νόμενον
unit_52 ταῖσδ’ ἀδαμαντοδέτοισι λύμαις·
148.1 νέοι γὰρ οἰα-
148.2 κονόμοι κρατοῦς’ Ὀλύμπου·
149 νεοχμοῖς δὲ δὴ νόμοις Ζεὺς
unit_55.1 ἀθέτως κρατύνει,
unit_55.2 τὰ πρὶν δὲ πελώρια νῦν ἀιστοῖ.
151.1 Πρ.εἰ γάρ μ’ ὑπὸ γῆν νέρθεν θ’ Αἵδου
151.2 τοῦ νεκροδέγμονος εἰς ἀπέραντον
151.3 Τάρταρον ἧκεν,
155.1 δεσμοῖς ἀλύτοις ἀγρίως πελάσας,
155.2 ὡς μήτε θεὸς μήτε τις ἄλλος
155.3 τοῖσδ’ ἐγεγήθει.
155.4 νῦν δ’ αἰθέριον κίνυγμ’ ὁ τάλας
155.5 ἐχθροῖς ἐπίχαρτα πέπονθα.
160.1 Χο.τίς ὧδε τλησικάρδιος[στρ. β.
160.2 θεῶν, ὅτῳ τάδ’ ἐπιχαρῆ;
160.3 τίς οὐ ξυνασχαλᾷ κακοῖς
160.4 τεοῖσι, δίχα γε Διός; ὁ δ’ ἐπικότως ἀεὶ
160.5 θέμενος ἄγναμπτον νόον
164

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δάμναται οὐρανίαν
165.1 γένναν, οὐδὲ λήξει,
165.2 πρὶν ἂν ἢ κορέσῃ κέαρ, ἢ παλάμᾳ τινὶ
166 τὰν δυσάλωτον ἕλῃ τις ἀρχάν.
166.1 Πρ.ἦ μὴν ἔτ’ ἐμοῦ, καίπερ κρατεραῖς
166.2 ἐν γυιοπέδαις αἰκιζομένου,
unit_63 χρείαν ἕξει μακάρων πρύτανις,
170.1 δεῖξαι τὸ νέον βούλευμ’, ὑφ’ ὅτου
170.2 σκῆπτρον τιμάς τ’ ἀποσυλᾶται.
170.3 καί μ’ οὔτι μελιγλώσσοις πειθοῦς
170.4 ἐπαοιδαῖσιν θέλξει, στερεάς τ’
170.5 οὔποτ’ ἀπειλὰς πτήξας τόδ’ ἐγὼ
175.1 καταμηνύσω, πρὶν ἂν ἐξ ἀγρίων
175.2 δεσμῶν χαλάσῃ ποινάς τε τίνειν
175.3 τῆσδ’ αἰκείας ἐθελήσῃ.
177.1 Χο.σὺ μὲν θρασύς τε καὶ πικραῖς[ἀντ. β.
177.2 δύαισιν οὐδὲν ἐπιχαλᾷς,
180.1 ἄγαν δ’ ἐλευθεροστομεῖς.
180.2 ἐμὰς δὲ φρένας ἠρέθισε διάτορος φόβος·
180.3 δέδια δ’ ἀμφὶ σαῖς τύχαις,
180.4 πᾷ ποτε τῶνδε πόνων
183.1 χρή σε τέρμα κέλσαντ’
183.2 ἐσιδεῖν· ἀκίχητα γὰρ ἤθεα καὶ κέαρ
185 ἀπαράμυθον ἔχει Κρόνου παῖς.
185.1 Πρ.οἶδ’ ὅτι τραχὺς καὶ παρ’ ἑαυτῷ
185.2 τὸ δίκαιον ἔχων Ζεύς· ἀλλ’ ἔμπας [ὀίω],
185.3 μαλακογνώμων
185.4 ἔσται ποθ’, ὅταν ταύτῃ ῥαισθῇ·
190.1 τὴν δ’ ἀτέραμνον στορέσας ὀργὴν
190.2 εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα
unit_72.1 σπεύδων σπεύδοντί ποθ’ ἥξει.
unit_72.2 Χο.πάντ’ ἐκκάλυψον καὶ γέγων’ ἡμῖν λόγον,
unit_72.3 ποίῳ λαβών σε Ζεὺς ἐπ’ αἰτιάματι
195.1 οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται·
195.2 δίδαξον ἡμᾶς, εἴ τι μὴ βλάπτῃ λόγῳ.
195.3 Πρ.ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,
195.4 ἄλγος δὲ σιγᾶν, πανταχῇ δὲ δύσποτμα.
195.5 ἐπεὶ τάχιστ’ ἤρξαντο δαίμονες χόλου
unit_74.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στάσις τ’ ἐν ἀλλήλοισιν ὠροθύνετο,
οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνον,
ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἱ δὲ τοὔμπαλιν
σπεύδοντες, ὡς Ζεὺς μήποτ’ ἄρξειεν θεῶν,
ἐνταῦθ’ ἐγὼ τὰ λῷστα βουλεύων πιθεῖν
Τιτᾶνας, Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα,
οὐκ ἠδυνήθην· αἱμύλας δὲ μηχανὰς
ἀτιμάσαντες καρτεροῖς φρονήμασιν
ᾤοντ’ ἀμοχθὶ πρὸς βίαν τε δεσπόσειν·
ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις
καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία,
τὸ μέλλον ᾗ κρανοῖτο προυτεθεσπίκει,
ὡς οὐ κατ’ ἰσχὺν οὐδὲ πρὸς τὸ καρτερὸν
χρείη, δόλῳ δέ, τοὺς ὑπερσχόντας κρατεῖν.
τοιαῦτ’ ἐμοῦ λόγοισιν ἐξηγουμένου
οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν.
κράτιστα δή μοι τῶν παρεστώτων τότε
ἐφαίνετ’ εἶναι προσλαβόντα μητέρα
ἑκόνθ’ ἑκόντι Ζηνὶ συμπαραστατεῖν.
ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς
κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον
αὐτοῖσι συμμάχοισι. τοιάδ’ ἐξ ἐμοῦ
ὁ τῶν θεῶν τύραννος ὠφελημένος
κακαῖσι ποιναῖς ταῖσδέ μ’ ἐξημείψατο.
ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι
νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.
ὃ δ’ οὖν ἐρωτᾶτ’, αἰτίαν καθ’ ἥντινα
αἰκίζεταί με, τοῦτο δὴ σαφηνιῶ.
ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον
καθέζετ’, εὐθὺς δαίμοσιν νέμει γέρα
ἄλλοισιν ἄλλα, καὶ διεστοιχίζετο
ἀρχήν, βροτῶν δὲ τῶν ταλαιπώρων λόγον
οὐκ ἔσχεν οὐδέν’, ἀλλ’ ἀιστώσας γένος
τὸ πᾶν ἔχρῃζεν ἄλλο φιτῦσαι νέον.
καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ.
ἐγὼ δ’ ἐτόλμης’· ἐξελυσάμην βροτοὺς
τὸ μὴ διαρραισθέντας εἰς Ἅιδου μολεῖν.
τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ’ ἰδεῖν·
θνητοὺς δ’ ἐν οἴκτῳ προθέμενος, τούτου τυχεῖν
οὐκ ἠξιώθην αὐτός, ἀλλὰ νηλεῶς
ὧδ’ ἐρρύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.
Χο.σιδηρόφρων τοι κἀκ πέτρας εἰργασμένος
ὅστις, Προμηθεῦ, σοῖσιν οὐ συνασχαλᾷ
μόχθοις· ἐγὼ γὰρ οὔτ’ ἂν εἰσιδεῖν τάδε
ἔχρῃζον εἰσιδοῦσά τ’ ἠλγύνθην κέαρ.
Πρ.καὶ μὴν φίλοις ἐλεινὸς εἰσορᾶν ἐγώ.
Χο.μή πού τι προὔβης τῶνδε καὶ περαιτέρω;
Πρ.θνητούς γ’ ἔπαυσα μὴ προδέρκεσθαι μόρον.
Χο.τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;
Πρ.τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.
Χο.μέγ’ ὠφέλημα τοῦτ’ ἐδωρήσω βροτοῖς.
Πρ.πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.
Χο.καὶ νῦν φλογωπὸν πῦρ ἔχους’ ἐφήμεροι;
Πρ.ἀφ’ οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.
Χο.τοιοῖσδε δή σε Ζεὺς ἐπ’ αἰτιάμασιν—
Πρ.αἰκίζεταί γε κοὐδαμῇ χαλᾷ κακῶν.
Χο.οὐδ’ ἔστιν ἄθλου τέρμα σοι προκείμενον;
Πρ.οὐκ ἄλλο γ’ οὐδέν, πλὴν ὅταν κείνῳ δοκῇ.
Χο.δόξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾷς ὅτι
ἥμαρτες; ὡς δ’ ἥμαρτες οὔτ’ ἐμοὶ λέγειν
καθ’ ἡδονὴν σοί τ’ ἄλγος. ἀλλὰ ταῦτα μὲν
μεθῶμεν, ἄθλου δ’ ἔκλυσιν ζήτει τινά.
Πρ.ἐλαφρὸν ὅστις πημάτων ἔξω πόδα
ἔχει παραινεῖν νουθετεῖν τε τοὺς κακῶς
πράσσοντας· εὖ δὲ ταῦτα πάντ’ ἠπιστάμην.
ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι·
θνητοῖς ἀρήγων αὐτὸς ηὑρόμην πόνους.
οὐ μήν τι ποιναῖς γ’ ᾠόμην τοίαισί με
κατισχνανεῖσθαι πρὸς πέτραις πεδαρσίοις,
τυχόντ’ ἐρήμου τοῦδ’ ἀγείτονος πάγου.
καί μοι τὰ μὲν παρόντα μὴ δύρεσθ’ ἄχη,
πέδοι δὲ βᾶσαι τὰς προσερπούσας τύχας
ἀκούσαθ’, ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
πίθεσθέ μοι, πίθεσθε, συμπονήσατε
τῷ νῦν μογοῦντι. ταὐτά τοι πλανωμένη

πρὸς ἄλλοτ’ ἄλλον πημονὴ προσιζάνει.
unit_91.2 Χο.οὐκ ἀκούσαις ἐπεθώυξας
unit_91.3 τοῦτο, Προμηθεῦ. καὶ νῦν ἐλαφρῷ
unit_91.4 ποδὶ κραιπνόσυτον θᾶκον προλιποῦς’
280.1 αἰθέρα θ’ ἁγνὸν πόρον οἰωνῶν,
280.2 ὀκριοέσσῃ χθονὶ τῇδε πελῶ,
280.3 τοὺς σοὺς δὲ πόνους
280.4 χρῄζω διὰ παντὸς ἀκοῦσαι.
283 ΩΚΕΑΝΟΣ
284 ἥκω δολιχῆς τέρμα κελεύθου
285.1 διαμειψάμενος πρὸς σέ, Προμηθεῦ,
285.2 τὸν πτερυγωκῆ τόνδ’ οἰωνὸν
285.3 γνώμῃ στομίων ἄτερ εὐθύνων·
285.4 ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ.
285.5 τό τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως
290.1 ἐπαναγκάζει,
290.2 χωρίς τε γένους οὐκ ἔστιν ὅτῳ
290.3 μείζονα μοῖραν νείμαιμ’ ἢ σοί.
290.4 γνώσῃ δὲ τάδ’ ὡς ἔτυμ’, οὐδὲ μάτην
290.5 χαριτογλωσσεῖν ἔνι μοι· φέρε γὰρ
295.1 σήμαιν’ ὅ τι χρή σοι συμπράσσειν·
295.2 οὐ γάρ ποτ’ ἐρεῖς ὡς Ὠκεανοῦ
295.3 φίλος ἐστὶ βεβαιότερός σοι.
297.1 Πρ.ἔα· τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν
297.2 ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
unit_99.1 ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
unit_99.2 αὐτόκτιτ’ ἄντρα, τὴν σιδηρομήτορα
unit_100.1 ἐλθεῖν ἐς αἶαν; ἢ θεωρήσων τύχας
unit_100.2 ἐμὰς ἀφῖξαι καὶ συνασχαλῶν κακοῖς;
unit_100.3 δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
305.1 τὸν συγκαταστήσαντα τὴν τυραννίδα,
305.2 οἵαις ὑπ’ αὐτοῦ πημοναῖσι κάμπτομαι.
305.3 Ωκ.ὁρῶ, Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
305.4 θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ.
305.5 γίγνωσκε σαυτὸν καὶ μεθάρμοσαι τρόπους
310.1 νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς.
310.2 εἰ δ’ ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
310.3 ῥίψεις, τάχ’ ἄν σου καὶ μακρὰν ἀνωτέρω
310.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θακῶν κλύοι Ζεύς, ὥστε σοι τὸν νῦν ὄχλον
310.5 παρόντα μόχθων παιδιὰν εἶναι δοκεῖν.
315.1 ἀλλ’, ὦ ταλαίπωρ’, ἃς ἔχεις ὀργὰς ἄφες,
315.2 ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.
315.3 ἀρχαῖ’ ἴσως σοι φαίνομαι λέγειν τάδε.
315.4 τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
315.5 γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίγνεται.
320.1 σὺ δ’ οὐδέπω ταπεινὸς οὐδ’ εἴκεις κακοῖς,
320.2 πρὸς τοῖς παροῦσι δ’ ἄλλα προσλαβεῖν θέλεις.
320.3 οὔκουν ἔμοιγε χρώμενος διδασκάλῳ
320.4 πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
320.5 τραχὺς μόναρχος οὐδ’ ὑπεύθυνος κρατεῖ.
325.1 καὶ νῦν ἐγὼ μὲν εἶμι καὶ πειράσομαι
325.2 ἐὰν δύνωμαι τῶνδέ ς’ ἐκλῦσαι πόνων·
325.3 σὺ δ’ ἡσύχαζε μηδ’ ἄγαν λαβροστόμει.
325.4 ἢ οὐκ οἶσθ’ ἀκριβῶς ὢν περισσόφρων ὅτι
325.5 γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;
330 Πρ.ζηλῶ ς’ ὁθούνεκ’ ἐκτὸς αἰτίας κυρεῖς,
unit_107.1 πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί.
unit_107.2 καὶ νῦν ἔασον μηδέ σοι μελησάτω.
unit_107.3 πάντως γὰρ οὐ πείσεις νιν· οὐ γὰρ εὐπιθής.
unit_107.4 πάπταινε δ’ αὐτὸς μή τι πημανθῇς ὁδῷ.
335.1 Ωκ.πολλῷ γ’ ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς
335.2 ἢ σαυτόν· ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι.
335.3 ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσῃς.
335.4 αὐχῶ γάρ, αὐχῶ, τήνδε δωρειὰν ἐμοὶ
335.5 δώσειν Δί’, ὥστε τῶνδέ ς’ ἐκλῦσαι πόνων.
340.1 Πρ.τὰ μέν ς’ ἐπαινῶ κοὐδαμῇ λήξω ποτέ·
340.2 προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. ἀτὰρ
340.3 μηδὲν πόνει· μάτην γὰρ οὐδὲν ὠφελῶν
340.4 ἐμοὶ πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις.
340.5 ἀλλ’ ἡσύχαζε σαυτὸν ἐκποδὼν ἔχων·
345.1 ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ’ εἵνεκα
345.2 θέλοιμ’ ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.
345.3 οὐ δῆτ’, ἐπεί με καὶ κασιγνήτου τύχαι
345.4 τείρους’ Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους
345.5 ἕστηκε κίον’ οὐρανοῦ τε καὶ χθονὸς
unit_111.1 ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.
unit_111.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα
ἄντρων ἰδὼν ᾤκτιρα, δάιον τέρας,
ἑκατογκάρανον πρὸς βίαν χειρούμενον,
Τυφῶνα θοῦρον. ὃς πᾶσιν ἀντέστη θεοῖς,
σμερδναῖσι γαμφηλαῖσι συρίζων φόβον,
ἐξ ὀμμάτων δ’ ἤστραπτε γοργωπὸν σέλας,
ὡς τὴν Διὸς τυραννίδ’ ἐκπέρσων βίᾳ·
ἀλλ’ ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος,
καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων
κομπασμάτων. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς
ἐφεψαλώθη κἀξεβροντήθη σθένος.
καὶ νῦν ἀχρεῖον καὶ παράορον δέμας
κεῖται στενωποῦ πλησίον θαλασσίου
ἰπούμενος ῥίζαισιν Αἰτναίαις ὕπο.
κορυφαῖς δ’ ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ
Ἥφαιστος, ἔνθεν ἐκραγήσονταί ποτε
ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις
τῆς καλλικάρπου Σικελίας λευροὺς γύας·
τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον
θερμοῖς ἀπλάτου βέλεσι πυρπνόου ζάλης,
καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος.
σὺ δ’ οὐκ ἄπειρος, οὐδ’ ἐμοῦ διδασκάλου
χρῄζεις· σεαυτὸν σῷζ’ ὅπως ἐπίστασαι·
ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην,
ἔστ’ ἂν Διὸς φρόνημα λωφήσῃ χόλου.
Ωκ.οὔκουν, Προμηθεῦ, τοῦτο γιγνώσκεις, ὅτι
ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι;
Πρ.ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ
καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ.
Ωκ.ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν τίνα
ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με.
Πρ.μόχθον περισσὸν κουφόνουν τ’ εὐηθίαν.
Ωκ.ἔα με τῇδε τῇ νόσῳ νοσεῖν, ἐπεὶ
κέρδιστον εὖ φρονοῦντα μὴ φρονεῖν δοκεῖν.
Πρ.ἐμὸν δοκήσει τἀμπλάκημ’ εἶναι τόδε.
Ωκ.σαφῶς μ’ ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.
Πρ.μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ωκ.ἦ τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας;
390.1 Πρ.τούτου φυλάσσου μή ποτ’ ἀχθεσθῇ κέαρ.
390.2 Ωκ.ἡ σή, Προμηθεῦ, συμφορὰ διδάσκαλος.
390.3 Πρ.στέλλου, κομίζου, σῷζε τὸν παρόντα νοῦν.
390.4 Ωκ.ὁρμωμένῳ μοι τόνδ’ ἐθώυξας λόγον.
390.5 λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
395.1 τετρασκελὴς οἰωνός· ἄσμενος δέ τἂν
395.2 σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.
396 ΧΟΡΟΣ
397.1 στένω σε τᾶς οὐ-[στρ. α.
397.2 λομένας τύχας, Προμηθεῦ·
397.3 δακρυσίστακτον [δ’] ἀπ’ ὄσσων
unit_125.1 ῥαδινῶν λειβομένα ῥέος παρειὰν
unit_125.2 νοτίοις ἔτεγξα παγαῖς·
unit_125.3 ἀμέγαρτα γὰρ τάδε Ζεὺς
unit_125.4 ἰδίοις νόμοις κρατύνων
unit_125.5 ὑπερήφανον θεοῖς τοῖς
405 πάρος ἐνδείκνυσιν αἰχμάν.
405 πρόπασα δ’ ἤδη[ἀντ. α.
unit_128.1 στονόεν λέλακε χώρα,
unit_128.2 μεγαλοσχήμονά τ’ ἀρχαι-
unit_128.3 οπρεπῆ –– στένουσι τὰν σὰν
410.1 ξυνομαιμόνων τε τιμάν·
410.2 ὁπόσοι τ’ ἔποικον ἁγνᾶς
410.3 Ἀσίας ἕδος νέμονται,
410.4 μεγαλοστόνοισι σοῖς πή-
410.5 μασι συγκάμνουσι θνατοί.
415.1 Κολχίδος τε γᾶς ἔνοικοι[στρ. β.
415.2 παρθένοι, μάχας ἄτρεστοι,
415.3 καὶ Σκύθης ὅμιλος, οἳ γᾶς
415.4 ἔσχατον τόπον ἀμφὶ Μαι-
415.5 ῶτιν ἔχουσι λίμναν,
420.1 Ἀραβίας τ’ ἄρειον ἄνθος,[ἀντ. β.
420.2 ὑψίκρημνον οἳ πόλισμα
420.3 Καυκάσου πέλας νέμονται,
420.4 δάιος στρατός, ὀξυπρῴ-
420.5 ροισι βρέμων ἐν αἰχμαῖς.
425.1 μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις
425.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δαμέντ’ ἀκαμαντοδέτοις
425.3 Τιτᾶνα λύμαις εἰσιδόμαν, θεὸν
unit_133.1 Ἄτλανθ’, ὃς αἰὲν ὑπέροχον σθένος κραταιὸν
unit_133.2 … οὐράνιόν τε πόλον
430 νώτοις ὑποστενάζει.
430.1 βοᾷ δὲ πόντιος κλύδων
430.2 ξυμπίτνων, στένει βυθός,
430.3 κελαινὸς [δ’] Ἄιδος ὑποβρέμει μυχὸς γᾶς,
430.4 παγαί θ’ ἁγνορύτων ποταμῶν
435 στένουσιν ἄλγος οἰκτρόν.
435.1 Πρ.μή τοι χλιδῇ δοκεῖτε μηδ’ αὐθαδίᾳ
435.2 σιγᾶν με· συννοίᾳ δὲ δάπτομαι κέαρ,
435.3 ὁρῶν ἐμαυτὸν ὧδε προυσελούμενον.
435.4 καίτοι θεοῖσι τοῖς νέοις τούτοις γέρα
440.1 τίς ἄλλος ἢ ’γὼ παντελῶς διώρισεν;
440.2 ἀλλ’ αὐτὰ σιγῶ. καὶ γὰρ εἰδυίαισιν ἂν
440.3 ὑμῖν λέγοιμι· τἀν βροτοῖς δὲ πήματα
440.4 ἀκούσαθ’, ὥς σφας νηπίους ὄντας τὸ πρὶν
440.5 ἔννους ἔθηκα καὶ φρενῶν ἐπηβόλους.
445.1 λέξω δέ, μέμψιν οὔτιν’ ἀνθρώποις ἔχων,
445.2 ἀλλ’ ὧν δέδωκ’ εὔνοιαν ἐξηγούμενος·
445.3 οἳ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην,
445.4 κλύοντες οὐκ ἤκουον, ἀλλ’ ὀνειράτων
445.5 ἀλίγκιοι μορφαῖσι τὸν μακρὸν βίον
unit_140.1 ἔφυρον εἰκῇ πάντα, κοὔτε πλινθυφεῖς
unit_140.2 δόμους προσείλους ᾖσαν, οὐ ξυλουργίαν·
unit_141.1 κατώρυχες δ’ ἔναιον ὥστ’ ἀήσυροι
unit_141.2 μύρμηκες ἄντρων ἐν μυχοῖς ἀνηλίοις.
unit_141.3 ἦν δ’ οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ
455.1 οὔτ’ ἀνθεμώδους ἦρος οὔτε καρπίμου
455.2 θέρους βέβαιον, ἀλλ’ ἄτερ γνώμης τὸ πᾶν
455.3 ἔπρασσον, ἔστε δή σφιν ἀντολὰς ἐγὼ
455.4 ἄστρων ἔδειξα τάς τε δυσκρίτους δύσεις.
455.5 καὶ μὴν ἀριθμόν, ἔξοχον σοφισμάτων,
460.1 ἐξηῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις,
460.2 μνήμην ἁπάντων, μουσομήτορ’ ἐργάνην.
460.3 κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα
460.4 ζεύγλαισι δουλεύοντα σώμασίν θ’ ὅπως
460.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
γένοινθ’, ὑφ’ ἅρμα τ’ ἤγαγον φιληνίους
ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
θαλασσόπλαγκτα δ’ οὔτις ἄλλος ἀντ’ ἐμοῦ
λινόπτερ’ ηὗρε ναυτίλων ὀχήματα.
τοιαῦτα μηχανήματ’ ἐξευρὼν τάλας
βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ’ ὅτῳ
τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.
Χο.πέπονθας αἰκὲς πῆμ’ ἀποσφαλεὶς φρενῶν
πλάνῃ, κακὸς δ’ ἰατρὸς ὥς τις ἐς νόσον
πεσὼν ἀθυμεῖς καὶ σεαυτὸν οὐκ ἔχεις
εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.
Πρ.τὰ λοιπά μου κλύουσα θαυμάσῃ πλέον,
οἵας τέχνας τε καὶ πόρους ἐμησάμην.
τὸ μὲν μέγιστον, εἴ τις ἐς νόσον πέσοι,
οὐκ ἦν ἀλέξημ’ οὐδέν, οὔτε βρώσιμον,
οὐ χριστόν, οὐδὲ πιστόν, ἀλλὰ φαρμάκων
χρείᾳ κατεσκέλλοντο, πρίν γ’ ἐγώ σφισιν
ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων,
αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.
τρόπους τε πολλοὺς μαντικῆς ἐστοίχισα,
κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ
ὕπαρ γενέσθαι, κληδόνας τε δυσκρίτους
ἐγνώρις’ αὐτοῖς ἐνοδίους τε συμβόλους.
γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
διώρις’, οἵτινές τε δεξιοὶ φύσιν
εὐωνύμους τε, καὶ δίαιταν ἥντινα
ἔχους’ ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
ἔχθραι τε καὶ στέργηθρα καὶ συνεδρίαι·
σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
ἔχους’ ἂν εἴη δαίμοσιν πρὸς ἡδονὴν
χολή, λοβοῦ τε ποικίλην εὐμορφίαν·
κνίσῃ τε κῶλα συγκαλυπτὰ καὶ μακρὰν
ὀσφῦν πυρώσας δυστέκμαρτον εἰς τέχνην
ὥδωσα θνητούς, καὶ φλογωπὰ σήματα
ἐξωμμάτωσα, πρόσθεν ὄντ’ ἐπάργεμα.
τοιαῦτα μὲν δὴ ταῦτ’· ἔνερθε δὲ χθονὸς
κεκρυμμέν’ ἀνθρώποισιν ὠφελήματα,

χαλκόν, σίδηρον, ἄργυρον χρυσόν τε, τίς
φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;
οὐδείς, σάφ’ οἶδα, μὴ μάτην φλῦσαι θέλων.
βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε,
πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.
Χο.μή νυν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,
σαυτοῦ δ’ ἀκήδει δυστυχοῦντος· ὡς ἐγὼ
εὔελπίς εἰμι τῶνδέ ς’ ἐκ δεσμῶν ἔτι
λυθέντα μηδὲν μεῖον ἰσχύσειν Διός.
Πρ.οὐ ταῦτα ταύτῃ Μοῖρά πω τελεσφόρος
κρᾶναι πέπρωται, μυρίαις δὲ πημοναῖς
δύαις τε καμφθεὶς ὧδε δεσμὰ φυγγάνω·
τέχνη δ’ ἀνάγκης ἀσθενεστέρα μακρῷ.
Χο.τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;
Πρ.Μοῖραι τρίμορφοι μνήμονές τ’ Ἐρινύες.
Χο.τούτων ἄρα Ζεύς ἐστιν ἀσθενέστερος;
Πρ.οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.
Χο.τί γὰρ πέπρωται Ζηνὶ πλὴν ἀεὶ κρατεῖν;
Πρ.τοῦτ’ οὐκέτ’ ἂν πύθοιο, μηδὲ λιπάρει.
Χο.ἦ πού τι σεμνόν ἐστιν ὃ ξυναμπέχεις.
Πρ.ἄλλου λόγου μέμνησθε, τόνδε δ’ οὐδαμῶς
καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος
ὅσον μάλιστα· τόνδε γὰρ σῴζων ἐγὼ
δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.
ΧΟΡΟΣ
μηδάμ’ ὁ πάντα νέμων[στρ. α.
θεῖτ’ ἐμᾷ γνώμᾳ κράτος ἀντίπαλον Ζεύς,
μηδ’ ἐλινύσαιμι θεοὺς ὁσίαις
θοίναις ποτινισσομένα
βουφόνοις παρ’ Ὠκεανοῦ πατρὸς ἄσβεστον πόρον,
μηδ’ ἀλίτοιμι λόγοις·
ἀλλά μοι τόδ’ ἐμμένοι
καὶ μήποτ’ ἐκτακείη·
ἡδύ τι θαρσαλέαις[ἀντ. α.
τὸν μακρὸν τείνειν βίον ἐλπίσι, φαναῖς
θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις,
φρίσσω δέ σε δερκομένα
μυρίοις μόχθοις διακναιόμενον ---.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ζῆνα γὰρ οὐ τρομέων
540.4 ἰδίᾳ γνώμᾳ σέβῃ
540.5 θνατοὺς ἄγαν, Προμηθεῦ.
545.1 φέρε, πῶς χάρις ἁ χάρις, ὦ[στρ. β.
545.2 φίλος; εἰπέ, ποῦ τις ἀλκά;
545.3 τίς ἐφαμερίων ἄρηξις; οὐδ’ ἐδέρχθης
545.4 ὀλιγοδρανίαν ἄκικυν,
545.5 ἰσόνειρον, ᾇ τὸ φωτῶν
unit_168.1 ἀλαὸν γένος ἐμπεποδισμένον; οὔποτε --
unit_168.2 τὰν Διὸς ἁρμονίαν θνατῶν παρεξίασι βουλαί.
553.1 ἔμαθον τάδε σὰς προσιδοῦσ’[ἀντ. β.
553.2 ὀλοὰς τύχας, Προμηθεῦ.
555.1 τὸ διαμφίδιον δέ μοι μέλος προσέπτα
555.2 τόδ’ ἐκεῖνό θ’ ὅ τ’ ἀμφὶ λουτρὰ
555.3 καὶ λέχος σὸν ὑμεναίουν
558-559 ἰότατι γάμων, ὅτε τὰν ὁμοπάτριον ἕδνοις
560 ἄγαγες Ἡσιόναν πιθὼν δάμαρτα κοινόλεκτρον.
560 ΙΩ
561.1 τίς γῆ; τί γένος; τίνα φῶ λεύσσειν
561.2 τόνδε χαλινοῖς ἐν πετρίνοισιν
562.1 χειμαζόμενον;
562.2 τίνος ἀμπλακίας ποινὰς ὀλέκῃ;
562.3 σήμηνον ὅποι
565 γῆς ἡ μογερὰ πεπλάνημαι.
565 ἆ ἆ, ἒ ἔ·
566.1 χρίει τίς αὖ με τὰν τάλαιναν οἶστρος;
566.2 εἴδωλον Ἄργου γηγενοῦς· ἄλευ’, ἆ δᾶ· φοβοῦμαι,
566.3 τὸν μυριωπὸν εἰσορῶσα βούταν.
566.4 ὁ δὲ πορεύεται δόλιον ὄμμ’ ἔχων,
570.1 ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει.
570.2 ἀλλ’ ἐμὲ τὰν τάλαιναν
570.3 ἐξ ἐνέρων περῶν κυναγεῖ, πλανᾷ
570.4 τε νῆστιν ἀνὰ τὰν παραλίαν ψάμμον.
573 ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ[στρ. α.
575.1 ἀχέτας ὑπνοδόταν νόμον·
575.2 ἰὼ ἰὼ πόποι, ποῖ μ’ ἄγουσι τηλέπλαγκτοι πλάναι;
575.3 τί ποτέ μ’, ὦ Κρόνιε παῖ, τί ποτε ταῖσδ’
575.4 ἐνέζευξας εὑρὼν ἁμαρτοῦσαν ἐν πημοναῖσιν,
575.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἒ ἔ·
580.1 οἰστρηλάτῳ δὲ δείματι δειλαίαν
580.2 παράκοπον ὧδε τείρεις;
580.3 πυρί 〈με〉 φλέξον, ἢ χθονὶ κάλυψον, ἢ
580.4 ποντίοις δάκεσι δὸς βοράν,
580.5 μηδέ μοι φθονήσῃς
584 εὐγμάτων, ἄναξ.
585.1 ἅδην με πολύπλανοι πλάναι
585.2 γεγυμνάκασιν, οὐδ’ ἔχω μαθεῖν ὅπῃ
585.3 πημονὰς ἀλύξω.
585.4 κλύεις φθέγμα τᾶς βούκερω παρθένου;
588 Πρ.πῶς δ’ οὐ κλύω τῆς οἰστροδινήτου κόρης
590.1 τῆς Ἰναχείας, ἣ Διὸς θάλπει κέαρ
590.2 ἔρωτι, καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους
590.3 Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται;
592.1 Ιω.πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ’ ἀπύεις;[ἀντ. α.
592.2 εἰπέ μοι τᾷ μογερᾷ τίς ὤν,
595 τίς ἄρα μ’, ὦ τάλας, [τὰν] ταλαίπωρον ὧδ’ ἔτυμα προσ-
595.1 θροεῖς,
595.2 θεόσυτόν τε νόσον ὠνόμασας, ἃ
595.3 μαραίνει με χρίουσα κέντροισι φοιταλέοισιν;
595.4 ἒ ἔ·
595.5 σκιρτημάτων δὲ νήστισιν αἰκείαις
unit_190.1 λαβρόσυτος ἦλθον, 〈Ἥρασ〉
unit_190.2 ἐπικότοισι μήδεσι δαμεῖσα. δυσ-
unit_190.3 δαιμόνων δὲ τίνες οἵ, ἒ ἔ,
unit_190.4 οἵ’ ἐγὼ μογοῦσιν;
unit_190.5 ἀλλά μοι τορῶς
605.1 τέκμηρον ὅ τι μ’ ἐπαμμένει
605.2 παθεῖν· τί μῆχαρ, ἢ τί φάρμακον νόσου;
605.3 δεῖξον, εἴπερ οἶσθα·
unit_192.1 θρόει, φράζε τᾷ δυσπλάνῳ παρθένῳ.
unit_192.2 Πρ.λέξω τορῶς σοι πᾶν ὅπερ χρῄζεις μαθεῖν,
610.1 οὐκ ἐμπλέκων αἰνίγματ’, ἀλλ’ ἁπλῷ λόγῳ,
610.2 ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα.
610.3 πυρὸς βροτοῖς δοτῆρ’ ὁρᾷς Προμηθέα.
610.4 Ιω.ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς,
610.5 τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;
615.1

Πρ.ἁρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.
Ιω.οὔκουν πόροις ἂν τήνδε δωρειὰν ἐμοί;
Πρ.λέγ’ ἥντιν’ αἰτεῖ· πᾶν γὰρ ἂν πύθοιό μου.
Ιω.σήμηνον ὅστις ἐν φάραγγί ς’ ὤχμασεν.
Πρ.βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χείρ.
Ιω.ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις;
Πρ.τοσοῦτον ἀρκῶ σοι σαφηνίσας μόνον.
Ιω.καὶ πρός γε τούτοις τέρμα τῆς ἐμῆς πλάνης
δεῖξον, τίς ἔσται τῇ ταλαιπώρῳ χρόνος.
Πρ.τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε.
Ιω.μήτοι με κρύψῃς τοῦθ’ ὅπερ μέλλω παθεῖν.
Πρ.ἀλλ’ οὐ μεγαίρω τοῦδέ σοι δωρήματος.
Ιω.τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;
Πρ.φθόνος μὲν οὐδείς, σὰς δ’ ὀκνῶ θράξαι φρένας.
Ιω.μή μου προκήδου μᾶσσον ὧν ἐμοὶ γλυκύ.
Πρ.ἐπεὶ προθυμῇ, χρὴ λέγειν· ἄκουε δή.
Χο.μήπω γε· μοῖραν δ’ ἡδονῆς κἀμοὶ πόρε.
τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον,
αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
τὰ λοιπὰ δ’ ἄθλων σοῦ διδαχθήτω πάρα.
Πρ.σὸν ἔργον, Ἰοῖ, ταῖσδ’ ὑπουργῆσαι χάριν,
ἄλλως τε πάντως καὶ κασιγνήταις πατρός.
ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας
ἐνταῦθ’, ὅπου μέλλοι τις οἴσεσθαι δάκρυ
πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.
Ιω.οὐκ οἶδ’ ὅπως ὑμῖν ἀπιστῆσαί με χρή,
σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρῄζετε
πεύσεσθε· καίτοι καὶ λέγους’ αἰσχύνομαι
θεόσσυτον χειμῶνα καὶ διαφθορὰν
μορφῆς, ὅθεν μοι σχετλίᾳ προσέπτατο.
αἰεὶ γὰρ ὄψεις ἔννυχοι πωλεύμεναι
ἐς παρθενῶνας τοὺς ἐμοὺς παρηγόρουν
λείοισι μύθοις “Ὦ μέγ’ εὔδαιμον κόρη,
τί παρθενεύῃ δαρόν, ἐξόν σοι γάμου
τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει
πρὸς σοῦ τέθαλπται καὶ συναίρεσθαι Κύπριν
θέλει· σὺ δ’, ὦ παῖ, μὴ ’πολακτίσῃς λέχος
τὸ Ζηνός, ἀλλ’ ἔξελθε πρὸς Λέρνης βαθὺν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρός,
ὡς ἂν τὸ Δῖον ὄμμα λωφήσῃ πόθου.‘
τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι
ξυνειχόμην δύστηνος, ἔστε δὴ πατρὶ
ἔτλην γεγωνεῖν νυκτίφοιτ’ ὀνείρατα.
ὁ δ’ ἔς τε Πυθὼ κἀπὶ Δωδώνης πυκνοὺς
θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρὴ
δρῶντ’ ἢ λέγοντα δαίμοσιν πράσσειν φίλα.
ἦκον δ’ ἀναγγέλλοντες αἰολοστόμους
χρησμοὺς ἀσήμους δυσκρίτως τ’ εἰρημένους.
τέλος δ’ ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ
σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη
ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμέ,
ἄφετον ἀλᾶσθαι γῆς ἐπ’ ἐσχάτοις ὅροις,
εἰ μὴ θέλοι πυρωπὸν ἐκ Διὸς μολεῖν
κεραυνόν, ὃς πᾶν ἐξαϊστώσοι γένος.
τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν
ἐξήλασέν με κἀπέκλησε δωμάτων
ἄκουσαν ἄκων· ἀλλ’ ἐπηνάγκαζέ νιν
Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι
ἦσαν, κεραστὶς δ’, ὡς ὁρᾶτ’, ὀξυστόμῳ
μύωπι χρισθεῖσ’ ἐμμανεῖ σκιρτήματι
ᾖσσον πρὸς εὔποτόν τε Κερχνείας ῥέος
Λέρνης τε κρήνην· βουκόλος δὲ γηγενὴς
ἄκρατος ὀργὴν Ἄργος ὡμάρτει, πυκνοῖς
ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους.
ἀπροσδόκητος δ’ αὐτὸν αἰφνίδιος μόρος
τοῦ ζῆν ἀπεστέρησεν. οἰστροπλὴξ δ’ ἐγὼ
μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι.
κλύεις τὰ πραχθέντ’· εἰ δ’ ἔχεις εἰπεῖν ὅ τι
λοιπὸν πόνων, σήμαινε μηδέ μ’ οἰκτίσας
σύνθαλπε μύθοις ψευδέσιν· νόσημα γὰρ
αἴσχιστον εἶναί φημι συνθέτους λόγους.
Χο.ἒα ἔα, ἄπεχε, φεῦ·
οὔποτ’ οὔποτ’ ηὔχουν 〈ὧδε〉 ξένους
μολεῖσθαι λόγους ἐς ἀκοὰν ἐμάν,
οὐδ’ ὧδε δυσθέατα καὶ δύσοιστα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πήματα λύμα[τα δείμα]τ’ ἀμ-
693.1 φήκει κέντρῳ ψύχειν ψυχὰν ἐμάν.
693.2 ἰὼ ἰὼ μοῖρα μοῖρα,
695 πέφρικ’ εἰσιδοῦσα πρᾶξιν Ἰοῦς.
695.1 Πρ.πρῴ γε στενάζεις καὶ φόβου πλέα τις εἶ·
695.2 ἐπίσχες ἔστ’ ἂν καὶ τὰ λοιπὰ προσμάθῃς.
695.3 Χο.λέγ’, ἐκδίδασκε· τοῖς νοσοῦσί τοι γλυκὺ
695.4 τὸ λοιπὸν ἄλγος προυξεπίστασθαι τορῶς.
unit_216.1 Πρ.τὴν πρίν γε χρείαν ἠνύσασθ’ ἐμοῦ πάρα
unit_216.2 κούφως· μαθεῖν γὰρ τῆσδε πρῶτ’ ἐχρῄζετε
unit_216.3 τὸν ἀμφ’ ἑαυτῆς ἆθλον ἐξηγουμένης·
unit_216.4 τὰ λοιπὰ νῦν ἀκούσαθ’, οἷα χρὴ πάθη
unit_216.5 τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα.
705.1 σύ τ’, Ἰνάχειον σπέρμα, τοὺς ἐμοὺς λόγους
705.2 θυμῷ βάλ’, ὡς ἂν τέρματ’ ἐκμάθῃς ὁδοῦ.
705.3 πρῶτον μὲν ἐνθένδ’ ἡλίου πρὸς ἀντολὰς
705.4 στρέψασα σαυτὴν στεῖχ’ ἀνηρότους γύας·
705.5 Σκύθας δ’ ἀφίξῃ νομάδας, οἳ πλεκτὰς στέγας
710.1 πεδάρσιοι ναίους’ ἐπ’ εὐκύκλοις ὄχοις,
710.2 ἑκηβόλοις τόξοισιν ἐξηρτυμένοι·
710.3 οἷς μὴ πελάζειν, ἀλλ’ ἁλιστόνοις πόδας
710.4 χρίμπτουσα ῥαχίαισιν ἐκπερᾶν χθόνα.
unit_219 λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες
715.1 οἰκοῦσι Χάλυβες, οὓς φυλάξασθαί σε χρή,
715.2 ἀνήμεροι γὰρ οὐδὲ πρόσπλατοι ξένοις.
715.3 ἥξεις δ’ ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον,
715.4 ὃν μὴ περάσῃς, οὐ γὰρ εὔβατος περᾶν,
715.5 πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς, ὀρῶν
720.1 ὕψιστον, ἔνθα ποταμὸς ἐκφυσᾷ μένος
720.2 κροτάφων ἀπ’ αὐτῶν. ἀστρογείτονας δὲ χρὴ
720.3 κορυφὰς ὑπερβάλλουσαν ἐς μεσημβρινὴν
720.4 βῆναι κέλευθον, ἔνθ’ Ἀμαζόνων στρατὸν
720.5 ἥξεις στυγάνορ’, αἳ Θεμίσκυράν ποτε
725.1 κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ’, ἵνα
725.2 τραχεῖα πόντου Σαλμυδησσία γνάθος,
725.3 ἐχθρόξενος ναύτῃσι, μητρυιὰ νεῶν·
725.4 αὗταί σ’ ὁδηγήσουσι καὶ μάλ’ ἀσμένως.
725.5 ἰσθμὸν δ’ ἐπ’ αὐταῖς στενοπόροις λίμνης πύλαις
730.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κιμμερικὸν ἥξεις, ὃν θρασυσπλάγχνως σε χρὴ
λιποῦσαν αὐλῶν’ ἐκπερᾶν Μαιωτικόν·
ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας
τῆς σῆς πορείας, Βόσπορος δ’ ἐπώνυμος
κεκλήσεται. λιποῦσα δ’ Εὐρώπης πέδον
ἤπειρον ἥξεις Ἀσιάδα. ἆρ’ ὑμῖν δοκεῖ
ὁ τῶν θεῶν τύραννος ἐς τὰ πάνθ’ ὁμῶς
βίαιος εἶναι; τῇδε γὰρ θνητῇ θεὸς
χρῄζων μιγῆναι τάσδ’ ἐπέρριψεν πλάνας.
πικροῦ δ’ ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων
μνηστῆρος. οὓς γὰρ νῦν ἀκήκοας λόγους,
εἶναι δόκει σοὶ μηδέπω ’ν προοιμίοις.
Ιω.ἰώ μοί μοι· ἒ ἕ.
Πρ.σὺ δ’ αὖ κέκραγας κἀναμυχθίζῃ· τί που
δράσεις, ὅταν τὰ λοιπὰ πυνθάνῃ κακά;
Χο.ἦ γάρ τι λοιπὸν τῇδε πημάτων ἐρεῖς;
Πρ.δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης.
Ιω.τί δῆτ’ ἐμοὶ ζῆν κέρδος, ἀλλ’ οὐκ ἐν τάχει
ἔρριψ’ ἐμαυτὴν τῆσδ’ ἀπὸ στύφλου πέτρας,
ὅπως πέδοι σκήψασα τῶν πάντων πόνων
ἀπηλλάγην; κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν
ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.
Πρ.ἦ δυσπετῶν ἂν τοὺς ἐμοὺς ἄθλους φέροις,
ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον·
αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή·
νῦν δ’ οὐδέν ἐστι τέρμα μοι προκείμενον
μόχθων, πρὶν ἂν Ζεὺς ἐκπέσῃ τυραννίδος.
Ιω.ἦ γάρ ποτ’ ἔστιν ἐκπεσεῖν ἀρχῆς Δία;
Πρ.ἥδοι’ ἄν, οἶμαι, τήνδ’ ἰδοῦσα συμφοράν.
Ιω.πῶς δ’ οὐκ ἄν, ἥτις ἐκ Διὸς πάσχω κακῶς;
Πρ.ὡς τοίνυν ὄντων τῶνδε γαθεῖν σοι πάρα.
Ιω.πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται;
Πρ.πρὸς αὐτὸς αὐτοῦ κενοφρόνων βουλευμάτων.
Ιω.ποίῳ τρόπῳ; σήμηνον, εἰ μή τις βλάβη.
Πρ.γαμεῖ γάμον τοιοῦτον ᾧ ποτ’ ἀσχαλεῖ.
Ιω.θέορτον, ἢ βρότειον; εἰ ῥητόν, φράσον.
Πρ.τί δ’ ὅντιν’; οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τόδε.
Ιω.ἦ πρὸς δάμαρτος ἐξανίσταται θρόνων;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πρ.ἣ τέξεταί γε παῖδα φέρτερον πατρός.
Ιω.οὐδ’ ἔστιν αὐτῷ τῆσδ’ ἀποστροφὴ τύχης;
Πρ.οὐ δῆτα, πλὴν ἔγωγ’ ἂν ἐκ δεσμῶν λυθείς.
Ιω.τίς οὖν ὁ λύσων ἐστὶν ἄκοντος Διός;
Πρ.τῶν σῶν τιν’ αὐτὸν ἐγγόνων εἶναι χρεών.
Ιω.πῶς εἶπας; ἦ ’μὸς παῖς ς’ ἀπαλλάξει κακῶν;
Πρ.τρίτος γε γένναν πρὸς δέκ’ ἄλλαισιν γοναῖς.
Ιω.ἥδ’ οὐκέτ’ εὐξύμβλητος ἡ χρησμῳδία.
Πρ.καὶ μηδὲ σαυτῆς ἐκμαθεῖν ζήτει πόνους.
Ιω.μή μοι προτείνων κέρδος εἶτ’ ἀποστέρει.
Πρ.δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι.
Ιω.ποίοιν; πρόδειξον, αἵρεσίν τ’ ἐμοὶ δίδου.
Πρ.δίδωμ’· ἑλοῦ γάρ, ἢ πόνων τὰ λοιπά σοι
φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσοντ’ ἐμέ.
Χο.τούτων σὺ τὴν μὲν τῇδε, τὴν δ’ ἐμοὶ χάριν
θέσθαι θέλησον, μηδ’ ἀτιμάσῃς λόγου·
καὶ τῇδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην,
ἐμοὶ δὲ τὸν λύσοντα· τοῦτο γὰρ ποθῶ.
Πρ.ἐπεὶ προθυμεῖσθ’, οὐκ ἐναντιώσομαι
τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅσον προσχρῄζετε.
σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω,
ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.
ὅταν περάσῃς ῥεῖθρον ἠπείροιν ὅρον,
πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς
. . . . . . .
πόντου περῶσα φλοῖσβον, ἔστ’ ἂν ἐξίκῃ
πρὸς Γοργόνεια πεδία Κισθήνης, ἵνα
αἱ Φορκίδες ναίουσι, δηναιαὶ κόραι
τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ’ ἐκτημέναι,
μονόδοντες, ἃς οὔθ’ ἥλιος προσδέρκεται
ἀκτῖσιν οὔθ’ ἡ νύκτερος μήνη ποτέ.
πέλας δ’ ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι,
δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς,
ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς·
τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω.
ἄλλην δ’ ἄκουσον δυσχερῆ θεωρίαν·
ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας
γρῦπας φύλαξαι, τόν τε μουνῶπα στρατὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀριμασπὸν ἱπποβάμον’, οἳ χρυσόρρυτον
οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου·
τούτοις σὺ μὴ πέλαζε. τηλουρὸν δὲ γῆν
ἥξεις, κελαινὸν φῦλον, οἳ πρὸς ἡλίου
ναίουσι πηγαῖς, ἔνθα ποταμὸς Αἰθίοψ.
τούτου παρ’ ὄχθας ἕρφ’, ἕως ἂν ἐξίκῃ
καταβασμόν, ἔνθα Βυβλίνων ὀρῶν ἄπο
ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος.
οὗτός ς’ ὁδώσει τὴν τρίγωνον ἐς χθόνα
Νειλῶτιν, οὗ δὴ τὴν μακρὰν ἀποικίαν,
Ἰοῖ, πέπρωται σοί τε καὶ τέκνοις κτίσαι.
τῶνδ’ εἴ τί σοι ψελλόν τε καὶ δυσεύρετον,
ἐπανδίπλαζε καὶ σαφῶς ἐκμάνθανε·
σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι.
Χο.εἰ μέν τι τῇδε λοιπὸν ἢ παρειμένον
ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης,
λέγ’· εἰ δὲ πάντ’ εἴρηκας, ἡμῖν αὖ χάριν
δὸς ἣν πρὶν ᾐτούμεσθα· μέμνησαι δέ που.
Πρ.τὸ πᾶν πορείας ἥδε τέρμ’ ἀκήκοεν.
ὅπως δ’ ἂν εἰδῇ μὴ μάτην κλύουσά μου,
ἃ πρὶν μολεῖν δεῦρ’ ἐκμεμόχθηκεν φράσω,
τεκμήριον τοῦτ’ αὐτὸ δοὺς μύθων ἐμῶν.
ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων,
πρὸς αὐτὸ δ’ εἶμι τέρμα σῶν πλανημάτων.
ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ γάπεδα,
τὴν αἰπύνωτόν τ’ ἀμφὶ Δωδώνην, ἵνα
μαντεῖα θᾶκός τ’ ἐστὶ Θεσπρωτοῦ Διός,
τέρας τ’ ἄπιστον, αἱ προσήγοροι δρύες,
ὑφ’ ὧν σὺ λαμπρῶς κοὐδὲν αἰνικτηρίως
προσηγορεύθης ἡ Διὸς κλεινὴ δάμαρ
μέλλους’ ἔσεσθαι· τῶνδε προσσαίνει σέ τι;
ἐντεῦθεν οἰστρήσασα τὴν παρακτίαν
κέλευθον ἦξας πρὸς μέγαν κόλπον Ῥέας,
ἀφ’ οὗ παλιμπλάγκτοισι χειμάζῃ δρόμοις·
χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχός,
σαφῶς ἐπίστας’, Ἰόνιος κεκλήσεται,
τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσιν βροτοῖς.
σημεῖά σοι τάδ’ ἐστὶ τῆς ἐμῆς φρενός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου.
840.5 τὰ λοιπὰ δ’ ὑμῖν τῇδέ τ’ ἐς κοινὸν φράσω,
845.1 ἐς ταὐτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος.
845.2 ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονός,
845.3 Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι·
845.4 ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα
845.5 ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον.
unit_250.1 ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων
unit_250.2 τέξεις κελαινὸν Ἔπαφον, ὃς καρπώσεται
unit_251.1 ὅσην πλατύρρους Νεῖλος ἀρδεύει χθόνα·
unit_251.2 πέμπτη δ’ ἀπ’ αὐτοῦ γέννα πεντηκοντάπαις
unit_251.3 πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦς’ ἐλεύσεται
855.1 θηλύσπορος, φεύγουσα συγγενῆ γάμον
855.2 ἀνεψιῶν· οἱ δ’ ἐπτοημένοι φρένας,
855.3 κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι,
855.4 ἥξουσι θηρεύοντες οὐ θηρασίμους
855.5 γάμους, φθόνον δὲ σωμάτων ἕξει θεός·
860.1 Πελασγία δὲ δέξεται θηλυκτόνῳ
860.2 Ἄρει δαμέντων νυκτιφρουρήτῳ θράσει·
860.3 γυνὴ γὰρ ἄνδρ’ ἕκαστον αἰῶνος στερεῖ,
860.4 δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος·
860.5 τοιάδ’ ἐπ’ ἐχθροὺς ἐμοὺς ἔλθοι Κύπρις.
865.1 μίαν δὲ παίδων ἵμερος θέλξει τὸ μὴ
865.2 κτεῖναι σύνευνον, ἀλλ’ ἀπαμβλυνθήσεται
865.3 γνώμην· δυοῖν δὲ θάτερον βουλήσεται,
865.4 κλύειν ἄναλκις μᾶλλον ἢ μιαιφόνος·
865.5 αὕτη κατ’ Ἄργος βασιλικὸν τέξει γένος.
870.1 μακροῦ λόγου δεῖ ταῦτ’ ἐπεξελθεῖν τορῶς.
870.2 σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς
870.3 τόξοισι κλεινός, ὃς πόνων ἐκ τῶνδ’ ἐμὲ
870.4 λύσει. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς
870.5 μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις·
875.1 ὅπως δὲ χὤπη, ταῦτα δεῖ μακροῦ λόγου
875.2 εἰπεῖν, σύ τ’ οὐδὲν ἐκμαθοῦσα κερδανεῖς.
876 Ιω.ἐλελεῦ, ἐλελεῦ,
unit_258.1 ὑπό μ’ αὖ σφάκελος καὶ φρενοπληγεῖς
unit_258.2 μανίαι θάλπους’, οἴστρου δ’ ἄρδις
880.1 χρίει μ’ ἄπυρος·
880.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κραδία δὲ φόβῳ φρένα λακτίζει,
880.3 τροχοδινεῖται δ’ ὄμμαθ’ ἑλίγδην,
880.4 ἔξω δὲ δρόμου φέρομαι λύσσης
880.5 πνεύματι μάργῳ, γλώσσης ἀκρατής·
885.1 θολεροὶ δὲ λόγοι παίους’ εἰκῆ
885.2 στυγνῆς πρὸς κύμασιν ἄτης.
886.1 Χο.ἦ σοφὸς ἦ σοφὸς ἦν[στρ. α.
886.2 ὃς πρῶτος ἐν γνώμᾳ τόδ’ ἐβάστασε καὶ γλώσ-
886.3 σᾳ διεμυθολόγησεν,
890.1 ὡς τὸ κηδεῦσαι καθ’ ἑαυτὸν ἀριστεύει μακρῷ,
890.2 καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων
890.3 μήτε τῶν γέννᾳ μεγαλυνομένων
890.4 ὄντα χερνήταν ἐραστεῦσαι γάμων.
893 μήποτε μήποτέ μ’, ὦ[ἀντ. α.
895.1 Μοῖραι 〈μακραίωνεσ〉, λεχέων Διὸς εὐνά-
895.2 τειραν ἴδοισθε πέλουσαν·
895.3 μηδὲ πλαθείην γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ.
895.4 ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν
895.5 εἰσορῶς’ Ἰοῦς ἀμαλαπτομέναν
unit_265.1 δυσπλάνοις Ἥρας ἀλατείαις πόνων.
unit_265.2 ἐμοὶ δ’ ὅτε μὲν ὁμαλὸς ὁ γάμος,[ἐπῳδ.
unit_265.3 ἄφοβος· ὃν δὲ δέδια, μὴ
unit_265.4 κρεισσόνων [θεῶν] ἔρως ἄφυκτον
903.1 ὄμμα προσδράκοι με.
903.2 ἀπόλεμος ὅδε γ’ ὁ πόλεμος, ἄπορα πόριμος· οὐδ’
905.1 ἔχω τίς ἂν γενοίμαν·
905.2 τὰν Διὸς γὰρ οὐχ ὁρῶ
906 μῆτιν ὅπα φύγοιμ’ ἄν.
906.1 Πρ.ἦ μὴν ἔτι Ζεύς, καίπερ αὐθάδη φρονῶν,
906.2 ἔσται ταπεινός, οἷον ἐξαρτύεται
906.3 γάμον γαμεῖν, ὃς αὐτὸν ἐκ τυραννίδος
910.1 θρόνων τ’ ἄιστον ἐκβαλεῖ· πατρὸς δ’ ἀρὰ
910.2 Κρόνου τότ’ ἤδη παντελῶς κρανθήσεται,
910.3 ἣν ἐκπίτνων ἠρᾶτο δηναιῶν θρόνων.
910.4 τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
910.5 δύναιτ’ ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι σαφῶς.
915.1 ἐγὼ τάδ’ οἶδα χῷ τρόπῳ. πρὸς ταῦτα νῦν
915.2 θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις
915.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πιστός, τινάσσων τ’ ἐν χεροῖν πύρπνουν βέλος.
915.4 οὐδὲν γὰρ αὐτῷ ταῦτ’ ἐπαρκέσει τὸ μὴ οὐ
915.5 πεσεῖν ἀτίμως πτώματ’ οὐκ ἀνασχετά·
920.1 τοῖον παλαιστὴν νῦν παρασκευάζεται
920.2 ἐπ’ αὐτὸς αὑτῷ, δυσμαχώτατον τέρας·
920.3 ὃς δὴ κεραυνοῦ κρείσσον’ εὑρήσει φλόγα,
unit_273.1 βροντῆς θ’ ὑπερβάλλοντα καρτερὸν κτύπον,
unit_273.2 θαλασσίαν τε γῆς τινάκτειραν νόσον,
925.1 τρίαιναν αἰχμὴν τὴν Ποσειδῶνος, σκεδᾷ.
925.2 πταίσας δὲ τῷδε πρὸς κακῷ μαθήσεται
925.3 ὅσον τό τ’ ἄρχειν καὶ τὸ δουλεύειν δίχα.
925.4 Χο.σύ θην ἃ χρῄζεις, ταῦτ’ ἐπιγλωσσᾷ Διός.
925.5 Πρ.ἅπερ τελεῖται, πρὸς δ’ ἃ βούλομαι λέγω.
930.1 Χο.καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινα;
930.2 Πρ.καὶ τῶνδέ γ’ ἕξει δυσλοφωτέρους πόνους.
930.3 Χο.πῶς οὐχὶ ταρβεῖς τοιάδ’ ἐκρίπτων ἔπη;
930.4 Πρ.τί δ’ ἂν φοβοίμην ᾧ θανεῖν οὐ μόρσιμον;
930.5 Χο.ἀλλ’ ἆθλον ἄν σοι τοῦδ’ ἔτ’ ἀλγίω πόροι.
935.1 Πρ.ὁ δ’ οὖν ποείτω· πάντα προσδοκητά μοι.
935.2 Χο.οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί.
935.3 Πρ.σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ’ ἀεί.
935.4 ἐμοὶ δ’ ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.
935.5 δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον
940.1 ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς.
940.2 ἀλλ’ εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
940.3 τὸν τοῦ τυράννου τοῦ νέου διάκονον·
940.4 πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθεν.
943 ΕΡΜΗΣ
944 σὲ τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον,
945.1 τὸν ἐξαμαρτόντ’ εἰς θεοὺς ἐφημέροις
945.2 πορόντα τιμάς, τὸν πυρὸς κλέπτην λέγω·
945.3 πατὴρ ἄνωγέ ς’ οὕστινας κομπεῖς γάμους
unit_281.1 αὐδᾶν, πρὸς ὧν ἐκεῖνος ἐκπίπτει κράτους·
unit_281.2 καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
unit_282.1 ἀλλ’ αὔθ’ ἕκαστα φράζε· μηδέ μοι διπλᾶς
unit_282.2 ὁδούς, Προμηθεῦ, προσβάλῃς· ὁρᾷς δ’ ὅτι
unit_282.3 Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.
unit_282.4 Πρ.σεμνόστομός γε καὶ φρονήματος πλέως
unit_282.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.
νέον νέοι κρατεῖτε καὶ δοκεῖτε δὴ
ναίειν ἀπενθῆ πέργαμ᾽· οὐκ ἐκ τῶνδ᾽ ἐγὼ
δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
τρίτον δὲ τὸν νῦν κοιρανοῦντ᾽ ἐπόψομαι
αἴσχιστα καὶ τάχιστα. μή τί σοι δοκῶ
ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ
κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν·
πεύσῃ γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.
Ερ.τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.
Πρ.τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
σαφῶς ἐπίστασ᾽, οὐκ ἂν ἀλλάξαιμ᾽ ἐγώ.
Ερ.κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ
ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον;
Πρ.οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.
Ερ.χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασιν.
Πρ.χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ᾽ ἐν τούτοις λέγω.
Ερ.ἦ κἀμὲ γάρ τι συμφοραῖς ἐπαιτιᾷ;
Πρ.ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεούς,
ὅσοι παθόντες εὖ κακοῦσί μ᾽ ἐκδίκως.
Ερ.κλύω σ᾽ ἐγὼ μεμηνότ᾽ οὐ σμικρὰν νόσον.
Πρ.νοσοῖμ᾽ ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.
Ερ.εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.
Πρ.ὤμοι.
Ερ. 〈ὤμοι·〉 τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.
Πρ.ἀλλ᾽ ἐκδιδάσκει πάνθ᾽ ὁ γηράσκων χρόνος.
Ερ.καὶ μὴν σύ γ᾽ οὔπω σωφρονεῖν ἐπίστασαι.
Πρ.σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ᾽ ὑπηρέτην.
Ερ.ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατήρ.
Πρ.καὶ μὴν ὀφείλων γ᾽ ἂν τίνοιμ᾽ αὐτῷ χάριν.
Ερ.ἐκερτόμησας δῆθεν ὥστε παῖδά με.
Πρ.οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ᾽ ἀνούστερος,
εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
οὐκ ἔστιν αἴκισμ᾽ οὐδὲ μηχάνημ᾽ ὅτῳ
προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.
πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλόξ,
λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι
χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάμψει γὰρ οὐδὲν τῶνδέ μ’ ὥστε καὶ φράσαι
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.
Ερ.ὅρα νυν εἴ σοι ταῦτ’ ἀρωγὰ φαίνεται.
Πρ.ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.
Ερ.τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.
Πρ.ὀχλεῖς μάτην με κῦμ’ ὅπως παρηγορῶν.
εἰσελθέτω σε μήποθ’ ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι,
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν
λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.
Ερ.λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν·
τέγγῃ γὰρ οὐδὲν οὐδὲ μαλθάσσῃ λιταῖς
ἐμαῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ.
ἀτὰρ σφοδρύνῃ γ’ ἀσθενεῖ σοφίσματι.
αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ’ αὑτὴν οὐδενὸς μεῖζον σθένει.
σκέψαι δ’, ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
ἔπεισ’ ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
τὸ σόν, πετραία δ’ ἀγκάλη σε βαστάσει.
μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου
ἄψορρον ἥξεις εἰς φάος· Διὸς δέ σοι
πτηνὸς κύων, δαφοινὸς αἰετός, λάβρως
διαρταμήσει σώματος μέγα ῥάκος,
ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος,
κελαινόβρωτον δ’ ἧπαρ ἐκθοινήσεται.
τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα,
πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
φανῇ, θελήσῃ τ’ εἰς ἀναύγητον μολεῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἅιδην κνεφαῖά τ’ ἀμφὶ Ταρτάρου βάθη.
πρὸς ταῦτα βούλευ’· ὡς ὅδ’ οὐ πεπλασμένος
ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος·
ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ Δῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δὲ
πάπταινε καὶ φρόντιζε, μηδ’ αὐθαδίαν
εὐβουλίας ἀμείνον’ ἡγήσῃ ποτέ.
Χο.ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
μεθέντ’ ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.
πιθοῦ· σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.
Πρ.εἰδότι τοί μοι τάσδ’ ἀγγελίας
ὅδ’ ἐθώυξεν, πάσχειν δὲ κακῶς
ἐχθρὸν ὑπ’ ἐχθρῶν οὐδὲν ἀεικές.
πρὸς ταῦτ’ ἐπ’ ἐμοὶ ῥιπτέσθω μὲν
πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ δ’
ἐρεθιζέσθω βροντῇ σφακέλῳ τ’
ἀγρίων ἀνέμων· χθόνα δ’ ἐκ πυθμένων
αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι,
κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ
συγχώσειεν τῶν οὐρανίων
ἄστρων διόδους, εἴς τε κελαινὸν
Τάρταρον ἄρδην ῥίψειε δέμας
τοὐμὸν ἀνάγκης στερραῖς δίναις·
πάντως ἐμέ γ’ οὐ θανατώσει.
Ερ.τοιάδε μέντοι τῶν φρενοπλήκτων
βουλεύματ’ ἔπη τ’ ἔστιν ἀκοῦσαι.
τί γὰρ ἐλλείπει μὴ 〈οὐ〉 παραπαίειν
ἡ τοῦδ’ εὐχή; τί χαλᾷ μανιῶν;
ἀλλ’ οὖν ὑμεῖς γ’ αἱ πημοσύναις
συγκάμνουσαι ταῖς τοῦδε τόπων
μετά ποι χωρεῖτ’ ἐκ τῶνδε θοῶς,
μὴ φρένας ὑμῶν ἠλιθιώσῃ
βροντῆς μύκημ’ ἀτέραμνον.
Χο.ἄλλο τι φώνει καὶ παραμυθοῦ μ’
ὅ τι καὶ πείσεις· οὐ γὰρ δή που
τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
πῶς με κελεύεις κακότητ’ ἀσκεῖν;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετὰ τοῦδ’ ὅ τι χρὴ πάσχειν ἐθέλω·
τοὺς προδότας γὰρ μισεῖν ἔμαθον,
κοὐκ ἔστι νόσος
τῆσδ’ ἥντιν’ ἀπέπτυσα μᾶλλον.
Ερ.ἀλλ’ οὖν μέμνησθ’ ἁγὼ προλέγω,
μηδὲ πρὸς ἄτης θηραθεῖσαι
μέμψησθε τύχην, μηδέ ποτ’ εἴπηθ’
ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον
πῆμ’ εἰσέβαλεν· μὴ δῆτ’, αὐταὶ δ’
ὑμᾶς αὐτάς. εἰδυῖαι γὰρ
κοὐκ ἐξαίφνης οὐδὲ λαθραίως
εἰς ἀπέρατον δίκτυον ἄτης
ἐμπλεχθήσεσθ’ ὑπ’ ἀνοίας.
Πρ.καὶ μὴν ἔργῳ κοὐκέτι μύθῳ
χθὼν σεσάλευται.
βρυχία δ’ ἠχὼ παραμυκᾶται
βροντῆς, ἕλικες δ’ ἐκλάμπουσι
στεροπῆς ζάπυροι, στρόμβοι δὲ κόνιν
εἱλίσσουσιν· σκιρτᾷ δ’ ἀνέμων
πνεύματα πάντων εἰς ἄλληλα
στάσιν ἀντίπνουν [ἀποδεικνύμενα]·
ξυντετάρακται δ’ αἰθὴρ πόντῳ.
τοιάδ’ ἐπ’ ἐμοὶ ῥιπὴ Διόθεν
τεύχουσα φόβον στείχει φανερῶς.
ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
αἰθὴρ κοινὸν φάος εἱλίσσων,
ἐσορᾷς ὡς ἔκδικα πάσχω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org